σκῆπτρα δ' οἱ αἰγλήεντ' ἰδὲ χλαῖναν ςέμματε πέμψε,
    δώροις μιν τίσαι ἀγλαοτιμοτάτοις.
τοῖα ῥα ΜΟΥΡΟΥΖΗΣΙΝ ἀγακλειτοῖς μετοῦσαι
    Υἱᾶσι καὶ Γενέτῃ ῥέξαμεν εὐκλεέα.
νῦν δ' αὖ ἈΛΕΞΑΝΔΡΩ, πινυτόφρονι συμπαρεοῦσαι
    δῶμεν ἐφημοσύνας ἀρχέμεν εὐκλεέως,
λισσόμεναι ξὺν ἅπασι Θεὸν πατέρ' Ὑψιμέδοντα,
    ὡς τῷδ' εὐμενέων δῷ κλητῷ ἩΓΕΜΟΝΙ
σκῆπτρα παναιγλήεντα φορεῦντα μὲν ἡγεμονεύειν
    δηρὸν ἐν ἀγλαΐῃ ξύν τ' ἀγανοφροσύνῃ,
ἰθύνειν δὲ δίκας καὶ ἀλεξικάκους τε θέμιςας,
    ἕρκος τ' ἀρχομένοις ἄρκιον οἷσιν ἔμεν.
ἃ πρώϊζα μάχῃ δ' ἐναρίμβροτος ἐςυφέλιξε
    πάντ' ἐπανορθώσασθ' ἡσύχῳ εὐνομίῃ.
ὡς κλέος ἔνθεν ἄρηται ἀγήραον, οὐρανόμηκες,
    κύδεΐ τ' ἐμβιόῃ κ' ὀλβιοδαιμονίῃ

Ὃ συντέθειται κατὰ τὸ αψϙγ. τῆς δὲ θεοςηρίκτου καὶ εὐτυχοῦς αὐτοῦ Ἡγεμονίας, Α.

ΕΓ-